ραν, ὡς σαυλόν τε ὄσης τῆς παλαιᾶς ἁρμονίας οὐκ ἀνειμένης ὡς οἱ νέοι ἐπενόησαν.

BISETVS. Βωμολοχεύσαιτο δὲ, ἀντὶ τοῦ, ἀγοραῖον, ἢ εὐτελές τι εἴποι. ἢ εἴ τις κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν προσενέγκοι τὰς, οἵας νῦν τὰς κατὰ Φρύνιν. καὶ τὰ ἑξῆς. Σ.

Σχόλια. Κάμψειεν.] ἀντὶ τοῦ εἰ κακοηθεύσαιτο. κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν ἀνενέγκοιτο. ἢ καταισχύνων τῷ μαλθακῷ τῆς φωνῆς. Κατὰ Φρύνιν.] ὁ Φρύνις κιθαρῳδὸς Μιτυληναῖος. δοκεῖ δὲ δοκεῖ πρῶτος παρὰ Ἀθηναίοις κιθαρῳδικῇ νικῆσαι Παναθηναίοις ἐπὶ Καλλίου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείτου μαθητής. ὁ δὲ Ἀριστοκλείτος τὸ γένος ἦν ἀπὸ Τερπάνδρου. ἤκμασε δὲ ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά. παραλαβὼν δὲ τὸν Φρύνιν αὐλῳδοῦντα, κιθαρίζειν ἐδίδαξεν. ὁ δὲ Ἴστρος Ἱέρωνος αὐτόν φησι μάγειρον ὄντα σὺν ἄλλοις δοθῆναι τῷ Ἀριστοκλείτῳ. ταῦτα δὲ ψευδέσιν ἔοικεν. εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ μάγειρος Ἱέρωνος, οὐκ ἂν ἀπέκρυψαν οἱ κωμικοὶ πολλάκις αὐτοῦ μεμνημένοι, ἐφ' οἷς ἐκαινούργησε κλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον ἔθος, ὡς Ἀριστοφάνης φησί. καὶ Ἀριστοκράτης. καθὸ πρῶτος τὴν ἁρμονίαν ἔκλασεν ἐπὶ τὸ μαλθακώτερον. ἦν δὲ γυιὸς ψυχρός. Πολλὰς] πληγὰς δηλονότι. Ἐν παιδοτρίβου.] εἰς τὸν τόπον ὅπου γυμνάζονται καὶ διατρίβουσιν οἱ παῖδες. Προβαλέσθαι.] τουτέστιν εὐκοσμίως καθεσθῆναι. ὡς μηδὲν τοῖς ἐρασταῖσιν ὑποδεῖξαι ἄκοσμον. Συμψῆσαι.] ἀντὶ τοῦ συγχέαι τὴν κόνιν ὡς μὴ σημεῖον ἢ τύπον ἀπολείπεσθαι ταῖς καθέδραις. ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ ἐγυμνάζοντο. κατέψων δὲ τὸν τόπον ὅπου ἐκαθέζοντο. ἵνα μὴ σημεῖον τῆς ἥβης ἑαυτῶν καταλείψειαν τοῖς ἐρασταῖς. παρεγίνοντο γὰρ ὥστε γυμνοὺς ὁρᾶν τοὺς ἐρωμένους.

BISETVS. Ὥσπερ μήλοισιν] Εὐστάθιος. μῆλα κυρίως τὰ πρόβατα λέγονται διὰ τὸν μαλλὸν, καὶ ὁμωνύμως πάντες οἱ καρποί. νῦν οὖν τινες τῶν ποιητῶν μῆλα καλεῖν νομίζουσι τοὺς καρπούς, ὡς οἱ Ῥωμαῖοι καὶ μάλα, καὶ πῶμα κατὰ τὴν ἐπιχώριον γλῶσσαν καλοῦσι. καὶ γὰρ ταῦτα πρωὶ δρόσον, καὶ χνοῦν τινα ἔχουσι πρὶν τὸν ἥλιον ἀνατέλλειν, ἢ ὑπό τινος συλλέγεσθαι. τότε γὰρ μεταχειριζόμενα, καὶ τὴν δρόσον, καὶ τὸν χνοῦν ἀποβάλλουσιν. αὕτη δὲ εἰκὼν καλλίστη, καὶ καλλίστην ὑποτύπωσιν ἔχει. ἀλλ' ἁπλούστερος, ἴσως καὶ πιθανώτερος ἂν ὁ νοῦς εἴη εἰ μῆλα ἐνταῦθα σημαίνειν λέγοις τὰς γνάθους, τὰς παρειὰς, τὰς γένυς. οὕτω γὰρ καλεῖσθαι ὁ Πολυδεύκης φησί, παρὰ τὸ ἀνθεῖν ἐν ὥρᾳ. λέγει δὲ τοῖς αἰδοίοισιν, ὥσπερ μήλοισιν. ἐπεὶ ἀμφοτέρωθι αἱ πρῶται τρίχες ἅμα φύεσθαι φιλοῦσι. σημείωσαι δὲ τοὺς μαστοὺς τοὺς γυναικείους μῆλα καλεῖσθαι, καθάπερ ὁ Σουΐδας λέγει. τοῦτο δὲ κατά τινα ὁμοιότητα τῶν τε μήλων, καὶ τῶν μαστῶν.

| | |
|---|---|
| Οὐδ' ἂν ἑλέσθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον τῆς ῥαφανῖδος | *Nulli raphano vesci licitum in cœna: nulli vel anethum,* |
| Οὐδ' ἄνηθον τῶν πρεσβυτέρων ἁρπάζειν. οὐδὲ σέλινον. | *Vel apium, herbas seniorum, fas præripere: obsonia nulli* |
| Οὐδ' ὀψοφαγεῖν. οὐδὲ κιχλίζειν. οὐδ' ἴσχειν τὼ πόδ' ἐναλλάξ. | *Edere, aut deliciari, neque pedes alternare licebat.* |
| Αδ. Ἀρχαῖά γε καὶ διιπολιώδη. καὶ τεττίγων ἀνάμεστα. | IN. *Prisca hæc sunt, & Iouialia & annis obsita, plena cicadis,* |
| Καὶ Κηκείδου καὶ Βουφονίων. Δι. ἀλλ' οὖν ταῦτ' ἐστὶν ἐκεῖνα, | *Nugæ Cecidæ & Buphoniorum.* IV. *atque hæc scilicet illa,* |
| Ἐξ ὧν ἄνδρας Μαραθωνομάχους, ἡ 'μὴ παίδευσις ἔθρεψεν. | *Quibus in Marathone viros pugnaces mea doctrina fidésque (mentus* |
| Σὺ δὲ τοὺς νῦν εὐθὺς ἐν ἱματίοισι διδάσκεις ἐντετυλίχθαι. | *Produxit: tu verò nostros homines illico tegu- Inuolui perdoces: vt ego suffocer, sicubi oportet* |
| Ὥστε μ' ἀπάγχεσθ' ὅταν ὀρχεῖσθαι Παναθηναίοις δέον αὐτοὺς, | *Illos saltare chorum in Panathenæis: clypeumq; vti peni* |

Σχόλια. Κεφάλαιον τῆς ῥαφανῖδος.] ὡς θερμὸν καὶ διεγεῖρον πρὸς τὰ ἀφροδίσια, παρῃτοῦντο ταῦτα. κεφάλαιον δὲ τὸ πρὸς τοῖς φύλλοις καυλῶδες. οὐκ ἔτεμον δὲ κατὰ μῆκος ὡς νῦν, ἀλλὰ καὶ κύκλον φησὶ διὰ τὴν κεφαλήν. Κιχλίζειν.] ἀντὶ τοῦ λιπαρὰς ὄρτυγας τρώγειν. κίχλας ἐσθίειν. ἢ ἀτάκτως γελᾶν καὶ ἀμέτρως. Τεττίγων ἀνάμεστα.] ἀρχαῖον τὸ τοὺς τέττιγας ἀναπλέκειν. τουτέστι τοὺς κρωβύλους. (τοὺς κρωβύλους.) ἄλλως. οἱ ἀρχαιότατοι τῶν Ἀθηναίων τέττιγας χρυσοῦς ἐν τοῖς τῶν τριχῶν πλέγμασιν εἶχον, διότι οἱ τέττιγες μουσικοὶ ὄντες, ἀνάκεινται τῷ Ἀπόλλωνι, ὃς ἦν πατρῷος τῇ πόλει. τὰ δὲ διιπόλεια τῶν ἀρχαιοτάτων ἑορτῶν. τὰ καὶ διάσια. τοὺς δὲ τέττιγας παρέλαβεν, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσοῖς εἶχον τέττιγι τεκμήριον ὅτι αὐτόχθονες ἦσαν οἱ Ἀθηναῖοι ὡς οἱ τέττιγες. καὶ Θουκυδίδης. καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες καὶ χρυσῶν τεττίγων ἐν έρσει κρωβύλων ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν.

BISETVS. Κρωβύλος δὲ κατὰ τὸν Σουΐδαν, πλέγμα τριχῶν εἰς ὀξὺ λῆγον. ἐκαλεῖτο δὲ ἐπὶ τῶν ἀνδρῶν οὕτω. κόρυμβος δὲ ἐπὶ τῶν γυναικῶν. σκορπίος δὲ ἐπὶ παίδων. οὕτω καὶ ἐν τοῖς τοῦ Θουκυδίδου σχολίοις παραδέδοται.

Σχόλια. Κηκείδου.] ἀρχαῖος διθυραμβοποιός. οὗ μέμνηται Κρατῖνος ἐν Πανόπταις. τὰ δὲ βουφόνια παλαιὰ ἑορτή. ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια. ὅτε καὶ βοῦν θύουσιν εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος βοὸς ἐν ἀκροπόλει ἁμαρτῶν τοῦ πελανοῦ ἐν τῇ ἑορτῇ Διονυσίων. ἄλλως. ἑορτὴ Ἀθηναίων πάνυ ἀρχαία. ἐν γὰρ τοῖς διιπολείοις φασὶ βοῦν τὸ πόπανον καταφαγεῖν τὸ παρεσκευασμένον πρὸς τὴν θυσίαν. Θαύλωνα δέ τινα ὡς εἶχε πελέκει ἀποκτεῖναι τὸν βοῦν. καθὰ καὶ Ἀνδροτίων μέμνηται διὰ τῆς τετάρτης. Μαραθωνομάχους.] τοὺς ἐν Μαραθῶνι τροπωσαμένους τὴν Δαρείου στρατιάν, ἧς Δᾶτις ὁ τούτου στρατηγὸς ἦγαγε τὰς περὶ πεντήκοντα μυριάδας. τὸ δὲ ἐντετυλίχθαι, τὸ ἐναντίον γυμνοῦσθαι. οὐκ ἐγκεκαλύφθαι. Ὀρχεῖσθαι.] ὠρχοῦντο γὰρ ἐν ὅπλοις ἐν τοῖς Παναθηναίοις οἱ παῖδες. διὰ δὲ τὸ ἀπρεπὲς φησὶ προέχοντες τῶν αἰδοίων τὴν ἀσπίδα. ἀμελεῖ τούτων ἐν τῇ πομπῇ ἀσπιδοφορούντων διὰ τὸ ἐπικαλύπτεσθαι τὴν αἰσχύνην. πῆχυς δὲ τὴν διαβολὴν εἰς τὴν ἀσπίδα τοῦ θεοῦ.